οὐδὲν δέῃ λόγων, οἳ καί σοι τὴν τοῦ καλοῦ φύσιν γνωρίσουσιν. ἐμοὶ δὲ νῦν (οὐ γάρ πώ μοι ὁ τῆς εὐδαιμονίας ἐπηύγασεν ἥλιος) δὸς ἀλλὰ τό γε δεύτερον ἐν σκιᾷ κατατρυφῆσαι τῷ λόγῳ καὶ ξυγχώρει καὶ τοῦτο τὸ φιλοτίμημα.

13 Οἱ γάρ τοι τὰ τοιαῦτα κομψοὶ καὶ τὴν γλῶτταν καχλάζοντες οὐ μέχρις ἑνὸς ἢ καὶ δύο τὸ καλὸν τοῖς ἀνθρώποις ἐναπεμέρισαν, ἀλλὰ τὰ μὲν τῶν ἀγαθῶν τῷ σώματι περιάπτουσι, τὰ δὲ τῇ ψυχῇ κόσμον ἀφωσιωμένον 405v] ἀνα|τιθέασιν. ἔστιν ἃ καὶ ἡ Τύχη παρ᾽ ἐκείνων ἀπεκληρώσατο, ταῦτα δὴ τὰ τοῦ σώματος καὶ ὅσων ἡ Τύχη δεσπότις, ἐφ᾽ οἷς καὶ τὸ ἀτύχημα μέτριον, καὶ ⟨ἃ⟩ παρόντα ξυνεπικοσμεῖ καὶ ξυνάγει τὸ εὔδαιμον καὶ μὴ παρόντα, φαῖεν ἂν ἐκεῖνοι, καταρρυπαίνει καὶ ʽλυμαίνεται τὸ μακάριονʼ· καὶ τοσοῦτον ἀφαιρεῖ τῆς εὐδαιμονίας ὁπόσον τοῦ κάλλους περιαιρεθέντες ὁρμίσκοι καὶ περιδέραια καὶ εἴ τι ἄλλο τοῦ κόσμου περίαπτον, εἰ δὲ βούλει, τοσοῦτον ὁπόσον ἡ τῶν εἰς ναυπηγίαν ἐπιτηδείων ἔνδεια τὸν ναυπηγὸν τῆς τέχνης παρείλετο. ταῦτα μὲν οὖν τύχη τε καὶ φύσις, οἷς ἂν ἐθέλοιεν, πολλάκις ἐπιβραβεύουσι· καὶ οὔτε ὁ κτησάμενος ἤδη μακάριος οὔτ᾽ αὖθις ὁ μὴ τυχὼν ἤδη τρισάθλιος. ἃ δὲ τῇ ψυχῇ καὶ μόνῃ προσανατέθειται, ἐπὶ τούτων καὶ τὸ ἀτυχῆσαι δύσδαιμον καὶ τὸ εὐτυχῆσαι μακάριον, ὅτι καὶ ταῦτα ψυχή τις εἶναι δοκεῖ τἀγαθοῦ καὶ τῆς εὐδαιμονίας, ὡς ἄν τις εἴποι, τὸ σκοπιμώτατον. σπάνιον μὲν οὖν τὸ χρῆμα τοῦτο καὶ οὐκ οἶδα εἴ ποτέ τις τοσοῦτον γοῦν εὐδαιμόνησεν, ὡς ὁλοτελῆ τὸν κύκλον τοῦτον διαγράψαι καὶ ἄρτιον καὶ μὴ τὰς πλείους παραλιπεῖν τῶν γραμμῶν, ὡς παρὰ πολὺ πεσεῖν ἔξω τοῦ σχήματος καὶ τοῦ τῷ ὄντι μακαρίου τῆς μακαριότητος κτήματος.

14 Ἀλλὰ τοῦτο τὸ καλὸν τὸ μέγα τὸ σπάνιον, τὸ μηδ᾽ ἐπ᾽ ὀλίγους φοιτῆσαν τῶν πώποτε, τούτοις δὴ τοῖς ἀρίστοις ἀνδράσι τοῖς σοῖς ἀρχεγόνοις ξυνεπῆλθε καὶ ξυνεκόσμησε καί, ὡς ἀπὸ μιᾶς πηγῆς τῆς ψυχῆς ἐπιβλυστάνειν ἀρξάμενον, μέχρι καὶ τῶν ἔξω δηλαδὴ τύχης καὶ σώματος ἔρρευσεν. ἐξ ἐκείνου τοῦ ῥείθρου, ἀπ᾽ ἐκείνης τῆς πηγῆς μετωχετεύθη τῇ κλήσει τὸ ἄριστον. ἥ τε γὰρ τῶν ἀρετῶν ἄνθη τὰς ψυχὰς ἐκείνοις ὡς εἰκὸς περιέστεφε καὶ ἡ Τύχη ὁπόσα εἰς εὐδαιμονίαν ὀργανικὰ συνεπιχορηγοῦσα δαψιλῶς οὐκ ἐπέλιπε. προσέτι γε μὴν καὶ ἡ φύσις φιλοκάλως τοῖς ἔξω καλοῖς περιήμπισχεν, ὡς φάσαν οἵπερ ἴδοντο καὶ ʽὡς ἀπὸ τῆς καλάμηςʼ τὴν ἄνθην ἄν τις τεκμήραιτο. οὐδὲ γὰρ οὐδὲ μετὰ γῆρας τὴν τοῦ προσώπου ὀπώραν εἰς τέλος ἀπεμαράνθησαν.